**ἀντισπαστικὸν εἶδος / antispastica forma**

Anon. Harl. 10. 15 sqq. εἴδη μέτρου δέκα· τροχαικόν, ἰαμβικόν, δακτυλικόν, ἀναπαιστικόν, χοριαμβικόν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, παιωνικόν, ἀντισπαστικὸν καὶ ἀνακρεόντειον.

Anecd. Chis. 10 (p. 20 Mangelsdorf) εἴδη ἐπιπλοκῆς τρία· δυαδικὸν τρίσημον, ὡς τροχαικὸν καὶ ἰαμβικόν, δυαδικὸν τετράμετρον, ὡς τὸ δακτυλικὸν καὶ τὸ ἀναπαιστικόν, τετραδικὸν ἑξάσημον, ὡς τὸ ἀντισπαστικόν, χοριαμβικόν, ἰωνικὰ δύο.

Anecd. Chis. 10 (p. 20 Mangelsdorf) εἴδη γὰρ μέτρου θ· ἰαμβικόν, τροχαικόν, δακτυλικόν, ἀναπαιστικόν, χορ[ε]ιαμβικόν, <ἀντισπαστικόν> (*add. Mangelsdorf*), ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, παιωνικόν.

Schol. A in Hephaest. 151. 9 sqq. ‘μονοειδῶν’ (*scil.* τῶν ἐννέα μέτρων) ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἀσυναρτήτων· ἐκεῖνα γὰρ ἐκ δύο εἰδῶν συνέστηκεν. ‘ὁμοιοειδῶν’ διότι ὑπὸ τὸ αὐτὸ εἶδος ἀναφέρεται πλείονα, οἷον ὑπὸ τὸ ἀντισπαστικὸν τὸ φερεκράτειον, τὸ γλυκώνειον· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Schol. B in Hephaest. 257. 6 sqq. ἐπιπλοκή ἐστι τοῦ μέτρου τὸ ἀνώτατον γένος, ἐξ ἧς τὰ μέτρα γίνεται. ἐπιπλοκαὶ δὲ κατὰ μὲν τινάς εἰσι καὶ ἄλλαι, αἱ δὲ νῦν ἀναγκαιόταται τρεῖς. καὶ ἡ μὲν καλεῖται τρίσημος δυαδική, ἡ δὲ τετράσημος δυαδική, ἡ δὲ ἑξάσημος τετραδική ... εἴδη τῆς ἑξασήμου τετραδικῆς τέσσαρα, ἰωνικὸν τὸ ἀπὸ μείζονος, χοριαμβικόν, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, ἀντισπαστικόν.

Schol. B in Hephaest. 260. 24 sqq. ἡ δὲ τρίτη ἐπιπλοκὴ καλεῖται μὲ τετραδική, ἐπειδὴ τέσσατα ἐξ αὐτῆς εἴδη ἐπιπλέκεται, ἀντισπαστικόν, χοριαμβικόν, ἰωνικὰ δύο, ἑξάσημος δέ, ἐπειδὴ ἕκαστος τούτων ἑξάχρονός ἐστιν. ἐπιπλέκεται δὲ ἐξ ἀλλήλων τοῦτον τὸν τρόπον· τίθημι μέτρον ἰωνικὸν ἀπὸ μείζονος·

> βλαστεῖ δ᾽ ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

τοῦτο ἀπὸ μείζονος ἰωνικὸν τετράμετρον βραχυκατάληκτον· ἀφαιρῶ αὐτοῦ τὴν πρώτην συλλαβήν, τὸ καταλειπόμενον γίνεται χοριαμβικόν·

> στεῖ δ᾽ ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

ἀφαιρῶ καὶ τὴν δευτέραν, τὸ καταλειπόμενον γίνεται ἰωνικὸν ἀπ᾽ ἐλάσσονος·

> ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

ἀφαιρῶ καὶ τὴν τρίτην, τὸ καταλειπόμενόν ἐστιν ἀντισπαστικόν·

> πὶ γῆς δένδρεα παντοῖα φύοντα.

εἰ δὲ καὶ τὴν τετάρτην ἀφέλῃς, εἰς τὸ ἀρχαῖον ἀναδραμεῖ τὸ ἀπὸ μείζονος·

> γῆς δένδρεα παντοῖα φύοντα.

οὐ μόνον δὲ ἐν ταῖς προειρημέναις ἀφαιρέσεσιν, ἀλλὰ καὶ ἐν προσθέσεσιν αἱ προειρημέναι σῴζονται ἐπιπλοκαί, τὸ <δὲ> χαρίεν τῆς παρατηρήσεώς ἐστι τοιοῦτον· ἐν μὲν ταῖς ἀφαιρέσεσι μετὰ τὸ ἰωνικὸν γίνεται <τὸ> χοριαμβικόν, εἶτα <τὸ> ἀπ᾽ ἐλάσσονος, εἶτα <τὸ> ἀντισπαστικόν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος· ἐν δὲ ταῖς προσθέσεσι τὸ ἀντισπαστικόν, εἶτα τὸ ἀπ᾽ ἐλάσσονος, εἶτα τὸ χοριαμβικόν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος.

Diom. GL I 501. 16 sqq. formae principalium metrorum secundum antiquitatis rationem generalissimae duae sunt inventae, dactylica et iambica.

his etiam, ut aliorum probat auctoritas, accedunt aliae septem hae, trochaica, anapaestica, antispastica, choriambica, duae ionicae, paeonica, quam plerique rythmicam esse dixerunt. [*P.S.*]